τοῦ θεοῦ ἡμῶν ἡμάρτομεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν ἀπὸ νεότη-
τος ἡμῶν ἕως τῆς ἡμέρας ταύτης καὶ οὐχ ὑπηκούσαμεν τῆς φωνῆς
κυρίου τοῦ θεοῦ ἡμῶν.
4 [1]Ἐὰν ἐπιστραφῇ Ισραηλ, λέγει κύριος, πρός με ἐπιστραφήσεται·
ἐὰν περιέλῃ τὰ βδελύγματα αὐτοῦ ἐκ στόματος αὐτοῦ καὶ ἀπὸ τοῦ
2 προσώπου μου εὐλαβηθῇ [2]καὶ ὀμόσῃ Ζῇ κύριος μετὰ ἀληθείας καὶ
ἐν κρίσει καὶ ἐν δικαιοσύνῃ, καὶ εὐλογήσουσιν ἐν αὐτῷ ἔθνη καὶ
3 ἐν αὐτῷ αἰνέσουσιν τῷ θεῷ ἐν Ιερουσαλημ. [3]ὅτι τάδε λέγει κύριος
τοῖς ἀνδράσιν Ιουδα καὶ τοῖς κατοικοῦσιν Ιερουσαλημ Νεώσατε
4 ἑαυτοῖς νεώματα καὶ μὴ σπείρητε ἐπ᾿ ἀκάνθαις. [4]περιτμήθητε τῷ
θεῷ ὑμῶν καὶ περιτέμεσθε τὴν σκληροκαρδίαν ὑμῶν, ἄνδρες Ιουδα
καὶ οἱ κατοικοῦντες Ιερουσαλημ, μὴ ἐξέλθῃ ὡς πῦρ ὁ θυμός μου
καὶ ἐκκαυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέσων ἀπὸ προσώπου πονη-
ρίας ἐπιτηδευμάτων ὑμῶν.
5 [5]Ἀναγγείλατε ἐν τῷ Ιουδα, καὶ ἀκουσθήτω ἐν Ιερουσαλημ· εἴπατε
Σημάνατε ἐπὶ τῆς γῆς σάλπιγγι καὶ κεκράξατε μέγα· εἴπατε Συνά-
6 χθητε καὶ εἰσέλθωμεν εἰς τὰς πόλεις τὰς τειχήρεις. [6]ἀναλαβόντες
φεύγετε εἰς Σιων· σπεύσατε μὴ στῆτε, ὅτι κακὰ ἐγὼ ἐπάγω ἀπὸ
7 βορρᾶ καὶ συντριβὴν μεγάλην. [7]ἀνέβη λέων ἐκ τῆς μάνδρας αὐτοῦ,
ἐξολεθρεύων ἔθνη ἐξῆρεν καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου αὐτοῦ τοῦ θεῖ-
ναι τὴν γῆν εἰς ἐρήμωσιν, καὶ πόλεις καθαιρεθήσονται παρὰ τὸ μὴ
8 κατοικεῖσθαι αὐτάς. [8]ἐπὶ τούτοις περιζώσασθε σάκκους καὶ κόπτεσθε
καὶ ἀλαλάξατε, διότι οὐκ ἀπεστράφη ὁ θυμὸς κυρίου ἀφ᾿ ὑμῶν.
9 [9]καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, ἀπολεῖται ἡ καρδία
τοῦ βασιλέως καὶ ἡ καρδία τῶν ἀρχόντων, καὶ οἱ ἱερεῖς ἐκστήσον-
10 ται, καὶ οἱ προφῆται θαυμάσονται. [10]καὶ εἶπα Ὦ δέσποτα κύριε,
ἄρα γε ἀπατῶν ἠπάτησας τὸν λαὸν τοῦτον καὶ τὴν Ιερουσαλημ
λέγων Εἰρήνη ἔσται ὑμῖν, καὶ ἰδοὺ ἥψατο ἡ μάχαιρα ἕως τῆς ψυχῆς
11 αὐτῶν. [11]ἐν τῷ καιρῷ ἐκείνῳ ἐροῦσιν τῷ λαῷ τούτῳ καὶ τῇ Ιε-
ρουσαλημ Πνεῦμα πλανήσεως ἐν τῇ ἐρήμῳ, ὁδὸς τῆς θυγατρὸς
12 τοῦ λαοῦ μου οὐκ εἰς καθαρὸν οὐδ᾿ εἰς ἅγιον. [12]πνεῦμα πληρώ-
13 σεως ἥξει μοι· νῦν δὲ ἐγὼ λαλῶ κρίματα πρὸς αὐτούς. [13]ἰδοὺ ὡς

25 ημων ημαρτομεν ημεις] ημαρτομεν tantum A†ʼ | ουχ υπηκουσ.] ουκ ηκουσ. AL
4 1 λεγ. κυρ. / προς με] tr. A(†) | αυτου 1⁰⌒2⁰ A† | του > S*A | μου] > B*†, αυτου A† || 2 και 2⁰ > Bpau. = 𝔐 || 3 init. — ιερουσ. > Apau. | οτι ταδε] ουτως S*† | ακανθαις] ι > S*† || 4 περιτμηθητε] -θησεσθαι(pro -θε) A† | υμων 1⁰] ημ. A | περιτεμεσθε] περιελεσθε S*A(-θαι) | ιερουσ.] pr. εν A: cf. 8 1 11 2.9 13 13 17 25 18 11 19 3 39 32 42 13 et 4 3 11 12 25 2 42 17 43 31 49 18 | μου] αυτου BSpau. || 5 επι της γης / σαλπ. BSA†] tr. rel. = 𝔐 | και 2⁰ > BA | κεκραξετε BS† | ειπατε 2⁰] pr. και SA† | εισελθατε A† | τειχηρεις] οχυρας A† || 6 κακα εγω] tr. A† || 7 της > B† || 8 αλαλαξατε] α 2⁰ > A†: item B† in 30 19 | υμων] ημ. S*† || 9 και ult. — fin. > A†, θαυμασ. > S*† || 10 ειπαν A† | υμιν > BS† | ιδου > S*A = 𝔐 || 11 εκεινω] τουτω A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/666 UNIVERSITÄT LEIPZIG